www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

Bolzanio, Urbano

Venetiis, [Aug. 1496]

Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

[S]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

καὶ ῥύεο. εἰώθασι γὰρ οἱ Ἴωνες, τὰ εἰς ου προστακτικὰ, εἰς εο διαιρεῖν· οἷον ποιοῦ ποιέο· ἄρχου ἄρχεο· οὕτως οὖν καὶ ῥύου ῥύεο.

Ῥυήτω ἐκ τοῦ ῥύηθι ῥυήτω.

Ῥῦσθαι, ἀπὸ τοῦ ῥύεσθαι. οὗ θέμα τὸ ῥύω· καὶ πλεονασμῷ τοῦ ε ἐρύω γίνεται, ἐπενθέσει δὲ τοῦ ι, εἰρύω.

Ῥύσκεσθαι γίνεται ἀπὸ τοῦ ῥύω ῥύσω· πλεονασμῷ τοῦ κ πρὸς ὁμοιότητα τοῦ θνῶ θνήσω θνήσκω· δαίω τὸ μανθάνω δαίσκω, καὶ ἀναδιπλασιασμῷ, καὶ ἀπελεύσει τοῦ ι τῆς διφθόγγου διδάσκω· οἷς ἐν τῇ εἰς τὸν μέλλοντα κλίσει προλογίζεται τὸ φύσικον σ· ἀλλὰ πρὸς τὸ τῆς παραληγούσης κ· κλίνεται ὡς ἐπὶ τῆς θνήσκω καὶ διδάσκω· ὧν δηλαδὴ μέλλοντες θνήξω καὶ διδάξω. ὅτι δὲ οὐκ ἐπὶ πάντων τοιαύτη κλίσις γίνεται, οὐκ ἔστιν ἀμφιβάλλειν· τοῦ γὰρ εὑίσκω καὶ ῥύσκω καὶ ῥυΐσκω καὶ κικλήσκω καὶ μιμνήσκω, καὶ ἄλλων· οὐδ' ὅλως εἰσὶ μέλλοντες.

Ῥύπα μεταπλασμὸν ἔπαθεν ὡς γὰρ ὁ ζυγὸς τὸ ζυγὸν καὶ τὰ ὅμοια· οὕτω καὶ ὁ ῥύπος τὸ ῥύπον οὗ ἡ εὐθεῖα παρὰ Θεοκρίτῳ εἰπόντι ἅπαν ῥύπον. λέγεται δὲ ῥύπα τὰ ῥύπου μετέχοντα.

## ἈΡΧῊ ΤΟΥ͂ ·Σ· ΣΤΟΙΧΕΊΟΥ·

ς Ακέσπαλος πολεμικὸς ἀπὸ τοῦ πάλλειν τὸ σάκος ὅ ἐστι κινεῖν τὴν ἀσπίδα. σάκος γάρ ἐστιν ἡ ἀσπὶς ἀπὸ σακῶν τῶν πρώτως εὑρόντων, οἱ δὲ σάκες ἔθνος εἰσὶ θρακικόν· ἢ παρὰ τὸ σαγὴν σάγος καὶ σάκος· ἢ παρὰ τὸ σάω σάκος, ὡς θάω θάκος.

Σαώτερος, ἔστι ῥῆμα σῶ τὸ ὑγιαίνω, παράγωγον σαῶ· ἐξ οὗ σαὸς ὄνομα καὶ σαώτερος· ἔστι δὲ ἀπὸ τοῦ σῶ καὶ ἕτερον παράγωγον σόω· ἐξ οὗ τὸ σόος διὰ τοῦ ο μικροῦ.

Σάω, κατὰ ἀποκοπὴν ἐκ τοῦ σάωζε ἐγένετο.

Σέσηπεν, ἐκ τοῦ σήπω ἢ ἔσαπον γίνεται παρὰ τὸ σὴς σητὸς· ὅ ἐστιν εἶδος σκώληκος σήπω· κλίνεται σὴς σητὸς· ὁ κανὼν, τὰ εἰς ης ὀνόματα μονοσύλλαβα εἰ μὴ ὀξύνεται, διὰ τοῦ τος κλίνεται· κρὴς κρητός.

κρῆτες κρητῶν, ἀμφὶ δέ μιν κρῆτες ἄσσοι. θής, θητὸς ὁ μισθωτός.
θῆτες δ' ἡμωές τε. βλής, βλητὸς, βλῆται καὶ βλῆται περόεντα. εἰ δὲ
πελειώνται, ἀπὸ βολῆς τοῦ σ κλίνονται. οἷον δρῦς, δρυός. ἀπὸ τοῦ ζῶ
τοῦ σῆς σητός, σήσω, καὶ σήπω σέσηκα.
Σίσυφος· δῆλον ὅτι δωρικῶς ἅμα καὶ αἰολικῶς ὄνομα τὸ σίσυ
φος, σιοὺς μὲν γὰρ οἱ δωριεῖς φασὶ τοὺς θεοὺς ἀντὶ τῶ, νὴ τὼ σιὼ ἀν
τὶ τοῦ νὴ τοὺς θεούς· σύφος δὲ ὁ σοφὸς παρ' αἰολεῦσιν· ὅθεν σίσυ
φος ὁ θεόσοφος, καὶ εἰκὸς κορινθίων διαλέκτου εἶναι τὴν λέξιν· πα
ροῖς δωριεῦσιν ἦρχεν ὁ σίσυφος· ὡς δὲ οἱ δωριεῖς ἔχαιρον καὶ αἰο
λίζοντες δηλοῖ Πίνδαρος ἀναμὶξ οὕτω ποιῶν· ἤτοι καὶ δωρικῶς
γράφων καὶ αἰολικῶς ὡς γὰρ τὸν θάνατον ὁ σίσυφος ἔδησεν· τοῦτο γὰρ εἰρημένον
παράγραφον καὶ ὁ θίασος καθὰ δηλοῖ ὁ δειπνοσοφιστής, λέγων ὅτι ἔ
ρανοί εἰσι κατὰ τοὺς παλαιοὺς αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαί
ἀπὸ τοῦ συνεράσασθαι φησὶ καὶ συμφέρειν ἕκαστον. ἐκαλοῦντο δὲ καὶ θί
ασοι· καὶ οἱ συνιόντες ἐπὶ τὰ τοιαῦτα ἐρανισταὶ καὶ συνθιασῶται.
ἐκαλεῖτο δέ φησι θίασος· καὶ ὁ περὶ διονύσῳ περιπόμενος ὄ-
χλος ἀπὸ τοῦ θεοῦ ὃν σιὸν ἐκάλουν οἱ λάκωνες. οὕτως σίασος καὶ
κατὰ τροπὴν θίασος, καθὰ καὶ βρυχισμὸς καὶ μαχισμός. καὶ κατὰ τροπὴν ὁμοία
βρυχηθμὸς, μαχηθμός. οὕτω δὲ καὶ ὠρύω ὠρυσμὸς ὡς ξύω καὶ ξύω, ξυσ
μὸς ξυσμός καὶ μεταβολῇ ὁμοία τοῦ σ εἰς θ ὠρυθμός· παρὰ Κοίν
δῳ. ὅρα δὲ ἐν τρισὶ ἐνθεῖσι τὸ συνεράσασθαι καινὸν ὃν καὶ ἴσως ἀπαύ
του γίνεται κατ' ἔννοιαν ἐναντίαν τοῦ ἐξερᾶν οὗ πλείων χρῆσις. ἔ
τι δὲ καὶ τὸ συμφέρειν γλυκέως ἐνθὲν καὶ δηλοῦν τὸ συνάδειν, ὅπερ
ἐπὶ βαστάγματος συνδιαφέρειν λέγεται. ἀφ' οὗ τροπικῶς εἴρηται τὸ
συνδιαφέρειν ὁ δεῖνα τῷ δεῖνι τὴν ἀρχήν. ἔτι ὅρα καὶ τὸ, αἱ ἀ
πὸ τῶν συμβαλλομένων εἰσαγωγαί ὅπερ ἐστὶ περίφρασις τοῦ αἱ
συμβολαὶ αἱ συμποσιακαὶ δηλαδή.
Σκῆπτρον λέγεται ὅτι καὶ ἐπὶ βακτηρίας ἐντελοῦς λαμβάνεται. ὡς ἐν ὀδυσ
σείᾳ φαίνεται. γίνεται δὲ πλεονασμῷ τοῦ ρ, ἀπὸ τοῦ σκήπτω τὸ ἐπε
ρείδομαι· ὡς προϋπάρχοντος τοῦ σκήπτω. ἀφ' οὗ ὁ σκηπτοῦχος. ὁ

θεν ὁ πίνδαρος σκᾶπτον αὐτὸ δωρικῶς καλεῖ. ὁμοίως δὲ πλεονασμὸς τοῦ ρ γέγονεν ἐν τῷ ἔνοπτρον, καὶ λέκτρον, καὶ δέρτρον, καὶ βάκτρον, ἔσοπτρον, ἄροτρον, τέρετρον. ὅτι δὲ καὶ διαφορά ἐστι σκήπτρου σκίπωνος, δηλοῖ ὁ γεωγράφος εἰπὼν βασιλεῖς τινας, σκίπωνα ἔχειν ἀντὶ σκήπτρου.

Σκεδῶ καὶ σκεδάζω ἀφ' οὗ ἡ σκέδασις. ἑτέρωθεν δὲ κεδῶ δίχα τοῦ σ. ὅθεν παράγωγον τὸ κεδαίω. οὕτω δὲ καὶ σκίδναμαι καὶ κίδναται.

Σκαιὸν ἄνθρωπον, ἀττικοὶ τὸν ἀπαίδευτόν φασι καὶ ἀνόητον ὡς δηλοῖ σαφῶς καὶ ὁ κωμικός, ἀκολούθως δὲ καὶ σκαιὸν πρᾶγμα τὸ μὴ κατὰ νοῦν ἀποβεβηκός. γίνεται δέ φασι παρὰ τὸ σκάζειν ἵνα ᾖ σκαιὸς ὁ σκάζων εἰς μάθησιν ὡς ἀνόητος.

Σμερδαλέον καὶ σμερδνόν. καθέστηκε δὲ ἡ λέξις οὕτως. μερίζω καὶ κατὰ συγκοπὴν μέρζω, καὶ δωρικῶς μέρδω τὸ πανταχοῦ μερίζω, καὶ διαπετάννυω τὴν ὄψιν. καὶ μετὰ τοῦ ζ κατὰ συγκοπὴν ζμέρδω κατὰ τοὺς παλαιοὺς γραμματικούς, ἐφ' ὧν καὶ τὸ ζμύρνα καὶ τὸ ζμικρόν. διὰ τοῦ ζ κατήρχετο καταργηθέντος παρὰ τοῖς ὕστερον, ὡς καὶ προγέγραπται τῇ ἀντιθέσει τοῦ σ. σμέρδω τοίνυν καὶ ἐξ αὐτοῦ τὸ σμερδνὸν καὶ σμερδαλέον.

Σμυγερῶς τὸ ἐπιπόνως ὀδυνηρῶς καὶ ὡς εἰπεῖν καυστικῶς, ἀπὸ τοῦ σμύχω τὸ καίω. ὅθεν τὸ σμύξαι πυρὶ νῆας. τοῦ δὲ σμύχω ὁ δεύτερος ἀόριστος ἔσμυχον ὅθεν τὸ σμυγερόν.

Σμινθεὺς ἐπίθετον ἀπόλλωνος οὕτως καλοῦσι κρῆτες τοὺς μύας.

Σόλοικος. οἱ βάρβαροι μὲν σόλοικοι ἀπὸ τῶν σόλων τῆς πόλεως κιλικίας. οἱ δὲ παρὰ λόγον προσπταίοντες παρὰ τὸν τοῦ σώου λόγου αἰκισμόν, σολοικίζειν ἐλέχθησαν παρὰ τῶν ἀθηναίων. ἰστέον δὲ ὅτι διαφέρει τὸ βαρβαρίζειν τοῦ σολοικίζειν καθὸ τὸ μὲν βαρβαρίζειν τὸ παρὰ μίαν λέξιν ἁμαρτάνειν ἐστί. κατὰ τόνον ὡς ὅταν τὸ ἄνθρωπος ὀξυτόνως εἴπω ἀνθρωπός. κατὰ γραφὴν ὡς ὅταν τὸ νεῖλος διὰ τοῦ ι γράψω. κατὰ κλίσιν ὡς ὅταν αἴας αἴου κλίνω. κατὰ χρόνον ὡς ὅταν τοῦ αἴας τὸ α συστείλω. κατὰ πνεῦμα ὡς ὅταν τὴν ὑπὸ πρόθεσιν ψι

λει. σολοικίζειν δέ ἐστι τὸ παρὰ τὴν σύνταξιν καὶ τὴν τάξιν ἁμαρτάνειν, τουτέστιν ἑκάστης λέξεως καθ' ἑαυτὴν κειμένης καλῶς ἐχούσης· ἐν δὲ τῇ συντάξει καὶ τῇ φράσει ἀτάκτως καὶ ἀνακολούθως παραλαμβανομένης, ὅθεν καὶ σολοικισμὸς λέγεται ὁ τοῦ σώου λόγου αἰκισμὸς ἢ ὕβρις τοῦ ὁλοκλήρου λόγου. δεῖ δὲ γινώσκειν ὅτι σολοικίζειν καὶ βαρβαρίζειν δεῖ λέγειν καὶ σολοικιζόμενον καὶ βαρβαριζόμενον· σολοικισμὸς καὶ βαρβαρισμὸς οὐ δεῖ λέγειν. οὕτως ὁ Χοιροβοσκός.

Σπεῖσαι· παρὰ τὸ πίσαι, ὅ ἐστι ποτίσαι τὴν γῆν διὰ οἴνου ἢ ὕδατος.

Σπέα· τὸ σπέος τοῦ σπέεος καὶ σπέους. τὸ πληθυντικὸν τὰ σπέεα καὶ συγκοπῇ σπέα, ὡς κλέεα, κλέα. ζήτει εἰς τὸ σπέος.

Σπείους· ὡς ἀπὸ τοῦ δέους γενικῆς δείους, οὕτως ἀπὸ τοῦ σπέους, σπείους. αὗται δὲ εἰσὶ μόναι παρὰ τῷ ποιητῇ εἰς ους λήγουσαι, ἀπὸ τῶν εἰς ος οὐδετέρων. ἀεὶ γὰρ ἐντελῶς λέγει, τείχεος, σάκεος. τὸ δὲ αἴτιον, ἡ εὐθεῖα καθὸ δέος καὶ σπέος καὶ εἰ προσέλαβεν ἡ γενικὴ ἕτερον ε, σπέεος καὶ δέεος, κακοφωνία ἐγένετο· ἔνθεν οὖν ἐποίησε δέους καὶ σπέους καὶ πλεονασμῷ τοῦ ι, δείους καὶ σπείους. σπέος δὲ ἐστι τὸ σπήλαιον· τὸ ἀφώτιστον οἴκημα, παρὰ τὸ σβέσαι τὸ φῶς, ὡς ἐπὶ τὸ πολὺ τοῦ φωτὸς ἐστέρηται. ὅθεν φησὶ σπέος ἠεροειδές, ἤγουν σκοτεινὸν καὶ ἀφεγγές. παρὰ τὸ σβέω σβέσω, σβέος καὶ σπέος. ὅ ἐστιν ἢ καὶ σβῶ σβέσω, ἐξ οὗ καὶ σβέσις. κλίνεται σπέεος σπέους καὶ σπείους παρὰ τῷ ποιητῇ. ἡ δοτικὴ τῶν πληθυντικῶν σπέεσι, ὡς τείχεσι. καὶ ἐπεκτάσει τοῦ ε εἰς η σπήεσι. κατὰ συγκοπὴν δὲ σπέσιν. οἷον ἐν σπέσι γλαφυροῖσι.

Σπέσθαι· ἀκολουθῆσαι, ἀπὸ τοῦ ἕπεσθαι ἀπαρέμφατον πλεονασμῷ τοῦ σ ἑσπέσθαι καὶ σπέσθαι. ἢ ἀπὸ τοῦ ἑπόμην ἕπετο πέσθαι καὶ ἐπισπέσθαι.

Σπεῖς· ἀπὸ τοῦ σπῶ σπήσω σημαίνει τὸ λέγω ἐν συνθέσει ἐνισπῶ ἐνισπήσω, ὁ δεύτερος ἀόριστος ἔσπον· ἡ μετοχὴ σπὼν καὶ ἐνισπών. τὸ προστακτικὸν σπὲς καὶ ἐνισπὲς ἀντὶ τοῦ εἰπέ. ἰστέον δὲ ὡς τὸ σπὲς καὶ σχὲς καὶ φρὲς ὃ σημαίνει τὸ εἰσένεγκε, γίνεται ἐκ τοῦ σχέω, σχῶ σχῶ-

μι πῶμι καὶ φρῶμι ὧν οἱ δεύτεροι ἀόριστοι ἔσχον ἔπον ἔφρον. ἔτι τὰ προστακτικὰ αὐτῶν σεσημείωται· πίνε, σχὲς ὀξυτόνως· ἔτι ἐπίσχες. ἔτι φρὲς· πὲς καὶ τὰ ὀφείλοντα γίνεσθαι σχὲ, ἔτι φρέ· καὶ τὰ ὡς ἐλθὲ εὑρὲ εἰπέ.

Στένεται καὶ βαρυστένεται θυμοῦται περιττῶς καὶ πέραν τοῦ δέοντος ὀργίζεται.

Στεῦται διαβεβαιοῦται ὑπισχνεῖται παρὰ τὸ στῆθος· οἷον ἐν τοῖς στήθεσι διανεῖται, ἐκεῖ γὰρ τὸ λογιστικὸν καθ' Ὅμηρον, οἷον στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ. ἢ ὡς παρὰ ἀθλῶ ἀθλεύω· ἐρχθῶ ἐρχθεύω, οἰνοχοῶ οἰνοχοεύω· λωβοῶ λωβοεύω· οὕτως στῶ, στεύω, στεύομαι στεύεται στεῦται. ἐπὶ τοῦ ὡρισμένου τι τῇ ψυχῇ καὶ στάσιμον λαβεῖν, ἢ ὑποθέμενός τι. περὶ οὗ δεῖ χωρίζειν ἐπί.

Στήωσιν εἰ μὴ χωρὶς τοῦ ι ἀπὸ τοῦ στῶ, τὸ γ' ἴσον τῶν πληθυντικῶν στῶσι καὶ πλεονασμῷ τοῦ η στήωσιν. εἰ δὲ σὺν τῷ ι ἀπὸ τοῦ ἐὰν στῶ ἐὰν στῇς· ἐὰν στῇ· καὶ πλεονασμῷ τοῦ η στήῃ στήῃς στήωμεν στήωσιν. ἄμεινον δὲ τὸ πρῶτον, ἢ ἀπὸ τοῦ στείω στείωσιν καὶ ἐκτάσει ἀττικῇ τοῦ ε εἰς η, καὶ μετὰ προσγεγραμμένου ι στήωσι.

Στιβαρὸν ἐκ τοῦ στείβω τὸ περιπατῶ οἱονεὶ τὸ πεπιλημένον καὶ ἠσφαλισμένον, ἢ μὴ ἔχων ἔξοδον μηδὲ ὀπήν· ἢ ἀπὸ τοῦ ἵστημι στιβαρὸν τὸ ἰσχυρόν· ἢ ἀπὸ τοῦ στείβω· ὁ δεύτερος ἀόριστος ἔστιβον· ὁ παθητικὸς ἐστίβην στιβῆναι τὸ ἀπαρέμφατον· καὶ ἐπεὶ κανών ἐστιν ὁ λέγων ὅτι τοῖς εἰς ναι ἀπαρεμφάτοις εἰώθασιν ἀντιπαράκεισθαι ὀνόματα εἰς ρος, οἷον μιᾶναι μιαρός· οὕτως στιβῆναι καὶ δωρικῇ τροπῇ στιβᾶναι· καὶ ἐξ αὐτοῦ στιβαρός.

Στιβίζουσι, οἷον ῥυθμῷ δὲ τὸ ψεῦδος στιβιβάζουσι δραπετεύουσι καὶ στιβαῖν ἀπὸ τοῦ πατεῖν, καὶ στίβος τὸ ἴχνος.

Στορέσαι καταστρώσαι ἀπὸ τοῦ στροβῶ ὑπερθέσει καὶ ἀποβολῇ τοῦ β στορῶ· ἐστόρεσε δὲ θεὸς μέγαν πόντον, στορῶ στορέσω καὶ καταστορῶ καταστορέσω τὸ γαληνῶ.

Στέλλω τὸ ὁπλίζω ἢ κοσμῶ· ἀποστέλλω ὅτε ἡ πρόθεσις περιττόν τι δηλοῖ ἤγουν ἐμπέμπω τὸ προετοιμάσαι ἢ κοσμῆσαι· ἢ δὲ ἀθετῆσαι πάντα· ἐκ δὲ τοῦ στέλλω τὸ κοσμῶ καὶ στολή· σημαίνει δὲ τὸ στέλλω καὶ τὸ κρύπτω· ἐξ οὗ καὶ συστολή· τὸ ἐπιστέλλω· ἐξ οὗ καὶ ἐπιστολή· τὸ πλέω ἐξ οὗ καὶ στόλος.

Στρεύγεσθαι Ἰλιάδος ο̅ οἱονεὶ στραγγίζεσθαι τουτέστι κατ' ὀλίγον κινεῖσθαι ἢ ἐκλείπειν, ἢ ταλαιπωρεῖν· οἶμαι ἀπὸ τοῦ στραγγεύεσθαι συγκοπῇ τοῦ α̅ καὶ ἀποβολῇ ἑνὸς γ̅, καὶ ὑπερθέσει στρεύγεσθαι.

Στρέφω ὁ μέλλων στρέψω, ὁ παρακείμενος ἔστροφα· ὁ παθητικὸς ἔστραμμαι. καὶ ὤφειλεν εἶναι ἔστρεμμαι· ἀλλὰ τὰ εἰς ω̅ λήγοντα ῥήματα ἔχοντα τὸ ε̅ καὶ ρ̅ μετὰ τῆς ἐπιπλοκῆς συμφώνου ἐπὶ πρώτης συζυγίας τῶν βαρυτόνων τρέπουσι τὸ ε̅ εἰς α̅ ἐν παθητικοῖς· ὁ ἀόριστος ἐστρέφθην καὶ ὤφειλεν εἶναι ἐστράφθην· ὅτι ὁ παθητικὸς ἀόριστος φυλάττει τὴν παραλήγουσαν τοῦ παθητικοῦ παρακειμένου· πλὴν ὅμως τῶν παρὰ τὸ αἱρῶ πεποιημένων οἷον καθῄρημαι καθῃρέθην συνῄρημαι συνῃρέθην· διῄρημαι διῃρέθην, ἀνῄρημαι ἀνῃρέθην· ἀφῄρημαι ἀφῃρέθην· καὶ τῶν ὁμοίων· ἢ πλὴν τοῦ ἐπῄνημαι ἐπῃνέθην, καὶ τοῦ εὕρημαι εὑρέθην· καὶ ῥῶ ἔρρημαι ἐρρέθην, καὶ τοῦ μέμνημαι ἐμνήσθην· προσλαμβάνοντος τοῦ σ̅, καὶ σέσωσμαι ἐσώθην ἀποβαλόντος αὐτό, τὸ δὲ ἐρρώσθην οὐκ ἀπὸ τοῦ ῥῶ, ἀλλὰ ἀπὸ τοῦ ῥώζω ἢ χωεὶς τῶν ἐχόντων τὸ ρ̅ ἢ ε̅ μετὰ τῆς ἐπιπλοκῆς συμφώνου τῆς πρώτης συζυγίας τῶν βαρυτόνων ταῦτα ἐν μὲν τῷ παθητικῷ παρακειμένῳ τρέπουσι τὸ ε̅ εἰς α̅· ἐν δὲ τῷ παθητικῷ ἀορίστῳ πάλιν ἐπαναλαμβάνουσιν αὐτό. οἷον στρέφω ἔστραμμαι ἐστρέφθην· τρέφω τέθραμμαι ἐτρέφθην.

Στροφᾶσθαι Ἰλιάδος ι̅ ἀντὶ τοῦ στρέφεσθαι διάγειν, ἀπὸ τοῦ στρέφω στρωφῶ.

Στυφελίζειν, γίνεται μὲν ἀπὸ τοῦ στύφειν ἢ ἐλίαν, ἢ ἐλελίζειν, ἢ δηλοῖ τὸ στυφνῶς καὶ ἐσσυμένως συστρέφειν· τὸ δὲ ἕδος ἀπὸ τοῦ ἕζω ἐξ οὗ ἢ ἡ ἕδρα καὶ δόρα καὶ νῦν ὡς ἕδος οὐ μόνον τὸ ἔδαφος, ἀλλὰ καὶ ἡ καθέδρα.

Στείομεν πρωτότυπον τὸ στέομεν.

Στορέσαι, πρωτότυπόν ἐστι τοῦ στρῶσαι καὶ καταστρῶσαι, ἀφ' οὗ καὶ τὰ στρώματα.

Στύξαιμι οὐ μόνον αὐτοπαθῶς ἀντὶ τοῦ φρίξαιμι ἢ μισήσαιμι, ἀλλ' ἰδοὺ νῦν ἐστιν ἀλλοπαθῶς ἀντὶ τοῦ εἰς μῖσος ἢ ἔκπληξιν ἀγάγοιμι. σημειωτέον δὲ ἐνταῦθα τὸ στύξειμι δεῖ πλὴν ἔχειν κίνησιν κανονικήν· ἢ γὰρ ἀπὸ ἀσυνήθους βαρυτόνου κανονίζεται θέματος τοῦ στύω στύξω· ἢ ἴσως ἀπὸ τοῦ στυγέω στυγῶ στυγήσω γίνεται κατὰ ἀποβολὴν τοῦ η διὰ παραληγούσης, στύγσω καὶ τροπῇ τοῦ γ εἰς κ διὰ τὸ εὐφωνότερον στύκσω· εἶτα τροπῇ τοῦ κ καὶ σ εἰς ξ, ὃ γίνεται καὶ ἐπὶ τοῦ δοκήσω δόκσω δόξω, ἀποτελεῖται τὸ στύξω, ἐξ οὗ τὸ ἔστυξα· καὶ τὸ στύξαιμι. ὡς δὲ φιλίως ἔχει τὸ γ καὶ τὸ κ δηλοῖ καὶ ἡ τοῦ κ εἰς τὸ γ μεταχώρησις ἐν τῷ ἐοιγμένον ἀντὶ τοῦ ἐοικαμένον· ὃ κεῖται παρὰ Σοφοκλεῖ. ὅτι δ' ἐστὶ τὸ στυγέω στυγῶ περισπώμενον τετήρηται, οἷον στυγέει δὲ καὶ ἄλλος, ὅθεν τὸ στυγερόν ἐστι ὁ στυγητός. ὅμως ἔχει χώραν εἶναι καὶ βαρύτονον, στύω, στύξω· δῆλον ἐστὶ ἐκ τοῦ στύξ, ὃ πάντως ἐκ τοῦ στύξω παρῆκται. τοιούτου δ' ἴσως θέματος ἢ τὸ κατὰ δ' ἔστυγον αὐτόν. δοκεῖ δὲ εἶναι ἀπὸ τοῦ στύω, στύξω, ἔστυξα, ἔστυγον. εἰ μή τι ἄρα, ὥσπερ ἀπὸ τοῦ ἐδούπησα ἢ ἐκτύπησα γίνεται τὸ ἔδουπον καὶ ἔκτυπον· οὕτω ἢ ἐκ τοῦ ἐστύγησα τὸ ἔστυγον. καὶ οὕτω μὲν ταῦτα.

Στὰν ἤγουν ἔστησαν, ἐκ τοῦ στὰς στάντος στάσονε, καθὰ ἐστὶ τὸ φθὰν ἐν τοῖς ἑξῆς ἀντὶ τοῦ ἔφθασαν, ἐκ τοῦ φθὰς φθάντος. ἐστὶ τὸ φὰν ἀντὶ τοῦ ἔφησαν ἐκ τοῦ φὰς, φάντος.

Συναντέθην ἣν δ' ἀμοῦ κ' ἔξω ἀναλογεῖ, οὐδὲ τὸ ἀλλήλοισι συναντήτην, ὡς ἀπὸ τοῦ ἀντῶ ἀντήσω. οὐκ ἡ χρῆσις παρὰ τῷ ποιητῇ.

Συνῆκα, ἐκ τοῦ συνίημι, ὁ μέλλων συνήσω, ὁ ἀόριστος συνῆκα ἢ ὤφειλεν εἶναι συνίηκα, ἀλλὰ πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος, καὶ ἀπὸ φύσει μακρᾶς, τὸν αὐτὸν χρόνον φυλάττει ἐν τῇ συνθέσει· οἷον ἧκα, συνῆκα. πλὴν τοῦ οἶδα σύνοιδα· τοῦτο γὰρ ἀπὸ φωνήεντος καὶ ἀπὸ φύσει μακρᾶς ἀρξάμενον.

ἐν τῇ συνθέσει, ἀναπέμπει τὸν τόνον.

Συκῆ· παρὰ τὸ σεύω τὸ ὁρμῶ· ὁρμητικὴ γάρ ἐστι. τὰ διὰ τοῦ αια παροξύτονα θηλυκὰ μὴ ἐπιδεχόμενα συναίρεσιν διὰ τῆς αι διφθόγγου γράφεται· ἐλαία, ἀλθαία, συκομοραία. μὴ ἐπιδεχόμενα συναίρεσιν διὰ τὸ συκέα, συκῆ· ἀμυγδαλέα ἀμυγδαλῆ. καὶ τὰ τῶν δένδρων διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον ἰτέα, μηλέα, καρέα, πτελέα.

Συνέηκεν· ἔστι ῥῆμα ἰωνικὸν σημαῖνον τὸ πέμπω. παράγωγον ἵημι. ὁ μέλλων ἥσω, τὰ γὰρ εἰς μι οἱ μέλλοντες, ἀναβάλλουσι τὴν πλεονάζουσαν συλλαβὴν ἐν τῷ θέματι. τίθημι θήσω· ἵστημι στήσω· βίβημι βήσω· ἵημι ἥσω ἧκα καὶ ἕηκα ἀττικῇ ἐκτάσει τοῦ ε. οἷς ἀντίκειται ἡ γραφή· ὁ γὰρ εἷκα διὰ τῆς ει διφθόγγου γράφεται· ὡς δηλοῖ ἡ ἀφεικὼς μετοχὴ, καὶ τὸ ἀφεικέναι ἀπαρέμφατον. τὸ δὲ συνέηκα διὰ τοῦ η γράφεται. ἀλλ' ἔστιν εἰπεῖν οὕτως· ἵημι ἥσω, ἧκα· καὶ ὡς τίθημι θήσω τέθεικα τρεπομένου τοῦ η εἰς τὴν ει βοιωτικῶς ἐν τῷ παρακειμένῳ, οὕτως ἧκα εἷκα· καὶ κατὰ διάλυσιν ἔεικα καὶ ἐκτάσει τοῦ ε ἐείκα, καὶ τροπῇ τοῦ δευτέρου ε εἰς η καὶ προσγραφομένου τοῦ ι ἔῃκα καὶ συνέῃκα. ζήτει τὸ ε στοιχεῖον ἕηκα.

Συνεῖρα· ἔστιν εἴρω τὸ συμπλέκω· ὃ γίνεται ἀπὸ τοῦ ἄρω τὸ ἁρμόζω τροπῇ τοῦ α εἰς ε καὶ πλεονασμῷ τοῦ ι. ὁ μέλλων ἐρῶ. ὁ ἀόριστος εἶρα καὶ συνεῖρα καὶ παρενεῖρα καὶ ἐνεῖρα, τὸ ἐμπερονήσω συναρμόσω συμπλέξω συνάψω. ἰστέον δὲ ὅτι τὸ ἐνεπείρουν ἔν τισι τῶν ἀντιγράφων ἐπένθεσιν τοῦ ε ἔχει ὡς ἐνεποίουν. ἐν τοῖς πλείοσι δὲ οὐκ ἔχει τὴν τοῦ ε ἐπέκτασιν· ἐνέπειρον γὰρ ὁ πεπουργὸς καὶ συμπεποιὸς καὶ ἐνείρων τῷ ῥαιστῆρι τὸ στελεόν.

Συνῶν· ἐκ τοῦ συνίημι τὸ συνιῶ καὶ γινώσκω· συνῆκα ὁ δεύτερος ἀόριστος· συνῆν ἡ μετοχὴ συνεὶς συνέντος· καὶ τὸ προστακτικὸν σύνες. τὸ δὲ συνιῶ γίνεται κατὰ παραγωγὴν ἐκ τοῦ συνῶ, ἢ ἐκ τοῦ συνίω.

Σύνθεο ἢ σύνθετο ἀμφότερα κατὰ πλεονασμὸν τοῦ τ, ἀπὸ τοῦ ξύνεο καὶ ξύνετο· ἢ οὕτως τίθημι· ὁ μέσος δεύτερος ἀόριστος ἐθέμην ἔθεσο καὶ ἔθου, ἔθετο· συστολῇ τοῦ τ, καὶ ἀφαιρέσει τῆς ἀρχούσης, καὶ συνθέσει, σύνθεο.

συνοχωκότε συμπεπτωκότε, ἔστι δὲ μετοχὴ συζυγίας πρώτης τῶν περισπωμένων ἐκ συνέχω συνοχῶ, ὡς δέμω δομῶ· συνοχήσω· ὁ παρακείμενος συνώχηκα· ἡ μετοχὴ συνωχηκώς, ἡ εὐθεῖα δυϊκῶν συνωχηκότε καὶ συστολῇ ἰωνικῇ συνοχηκότε· καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, συνοχωκότε, ὡς ἀρηγὸς ἀρωγὸς, στῆμα στῶμα.

σφέας, τὸ σφέας κατὰ πλεονασμόν ἐστι τοῦ ε· ἢ τὸ σφᾶς κατὰ συναίρεσιν· καὶ λέγει ὅτι τὸ σφέας κατὰ πλεονασμὸν γίνεται τοῦ ε διὰ τὸν κανόνα τὸν λέγοντα καθόλου ἐν τῷ πληθυντικῷ ἀριθμῷ ἡ τοῦ τρίτου προσώπου ἀντωνυμία ἀρχομένη ἀπὸ τοῦ σφ ἐνδεῖ συλλαβῶν κατὰ τὸ δεύτερον καὶ πρῶτον πρόσωπον τῶν ἀπὸ τοῦ α' καὶ β' προσώπου· οἷον ἡμεῖς ὑμεῖς, σφεῖς, ἡμῶν ὑμῶν σφῶν, ἡμῖν ὑμῖν σφίν· οὕτως ἡμᾶς ὑμᾶς σφᾶς· ὥστε τὸ σφέας κατὰ πλεονασμὸν ἔχει τὸ ε ἀπὸ τοῦ σφᾶς· ἢ ἄλλως σφέες σφεῖς καὶ σφὲς δωρικῶς· σφέων σφῶν ἢ σφείων σφίσι καὶ σφίν· σφέας σφᾶς κατὰ κρᾶσιν· οὕτως ἡμέες ἡμεῖς κοινῶς, δωρικῶς δὲ καὶ αἰολικῶς ἄμμες· οὐ κατ' ἀναλογίαν ἐστὶν ὀνομαστικὴ δυϊκὴ ἄμμεε· ἡμέων ἡμῶν κοινῶς καὶ ἐπενθέσει τοῦ ι ἡμείων ποιητικῶς καὶ ἀμμέων αἰολικῶς· ἡμῖν μόνως καὶ περισπᾶται ἀεὶ παρὰ τοῖς ῥήτορσιν· ἐνίοτε δὲ ὀξύνεται παρὰ τοῖς τραγικοῖς ποιηταῖς ὅτε τὸ ιν βραχύ ἐστι καὶ δωρικῶς ἄμμιν καὶ αἰολικῶς ἄμιν· ἡμέας ἡμᾶς καὶ αἰολικῶς ἄμε· καὶ τὸ δεύτερον ὑμέες ὑμεῖς ὑμέων ὑμῶν ὑμέας ὑμᾶς.

σφετεριζόμενος ἴδιον ποιούμενος ἀντὶ τοῦ σφέτερος.

σφωὲ, ἀντωνυμία ἐστὶ τοῦ δευτέρου προσώπου αἰτιατικῆς πτώσεως καὶ μόνης· οὐκ ἔστι δὲ τοῦτο ὀρθῆς καὶ αἰτιατικῆς· διότι ἡ ὀρθὴ πτῶσις οὐδέποτε ἀναδίδωσι τὸν ἑαυτοῦ τόνον· οἷον νῶϊ

σφῶϊ. τοῦ δὲ ὀξυτόνου τὸ ἐγκλιτικὸν ἀναδίδωσι τὸν τόνον, οἷον·
τίς τάρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι. τὸ τοῦ οὖν τρίτου προσώπου ἀπέ
λειψεν ἡ εὐθεῖα. καὶ ἡ μόνης αἰτιατικῆς πτώσεως. τὸ δὲ πρώτου προ
σώπου δυϊκὸν εὐθείας καὶ αἰτιατικῆς πτώσεώς ἐστιν. οἷον νῶϊ. τὸ β΄
προσώπου ὀρθῆς, οἷον σφῶϊ. τὸ δὲ αἰτιατικῆς πτώσεως ἐστὶ μόνης, οἷον σφωε.

Σφῶϊν βαρύνεται μὲν δεύτερον ἐστὶ πρόσωπον, ὀξύνεται δὲ τρίτον
ἐξ οὗ γινώσκομεν σφωΐν. ὅθεν καὶ ἐγκλιτικόν ἐστιν ὡς παρ' Ὁμήρῳ
καὶ σφωϊν δὸς ἄγγελος.

Σχέθε ἐκ τοῦ ἔχω γίνεται σχέθω, ὡς φλέγω φλεγέθω. ὁ παρατατικὸς
ἔσχεθον σχέθε τὸ συναρχόμενον καὶ τὸ προστακτικὸν σχέθε ἐγκλί
νεται ἄχρι τοῦ παρατατικοῦ κατὰ πᾶσαν ἔγκλισιν.

Σχὲς ἐστὶ προσχὲς ῥῆμα προστακτικὸν καταλήξεως τῆς εἰς μι τὸ θέ
μα ἴσχημι καὶ γίνεται ἐκ τοῦ σχῶ. ὁ μέλλων σχήσω, ὁ δεύτερος ἀόριστος
ἔσχην ἡ μετοχὴ σχεὶς σχέντος. καὶ τὸ προστακτικὸν σχὲς ὁμοίως τῷ
σπὲς, ὥσπερ τὸ σπὲς ἀπὸ τοῦ σπῶ. καὶ τὸ φρὲς ἀπὸ τοῦ φρῶ
οὕτως καὶ τοῦτο ἀπὸ τοῦ σχῶ ὁ μέλλων σχήσω. ὁ δεύτερος ἀόριστος
ἔσχον καὶ κατέσχον. ἡ μετοχὴ σχών, ὥσπερ ἀπὸ τοῦ φαγὼν μετο-
χῆς τὸ προστακτικὸν φάγε. καὶ ἀπὸ τοῦ πιὼν πίε πίος. οὕτως
ἀπὸ τοῦ σχὼν σχὲ καὶ κατάσχε καὶ πλεονασμῷ τοῦ σ σχὲς καὶ κατάσχες.
τὸ δὲ σπὲς ἀπὸ τοῦ σπῶ ὃ σημαίνει τὸ λέγω, ὁ μέλλων σπήσω, ὁ
ἀόριστος δεύτερος ἔσπον. ἡ μετοχὴ σπὼν ἐστὶν ἐνισπών. καὶ τὸ προσ
τακτικὸν σπὲ. καὶ πλεονασμῷ τοῦ σ, σπές. οὕτως Ζηνόβιος
πλεονασμῷ τοῦ σ διὰ τὴν μονοσυλλαβίαν.

Σχήσεσθαι ἀνθέξεσθαι ἀντιστῆναι παρὰ τὸ σχῶ τὸ κρατῶ, ὅθεν καὶ
καὶ σχῆμα.

Σχοίην ἀττικῶς, ὁμοίως τῷ περιπατοῖμι περιπατοίην, καὶ
τοῖς ὁμοίοις.

Σῶος λέγει ὁ Δίδυμος σὺν τῷ ι γράφεσθαι, ὡς μίνως
μίνωος. ἥρως ἥρωος. οὕτω καὶ σῶς σῶος, ὁ δὲ Ἡρωδιανὸς ἀντι
λέγει αὐτῷ λέγων, ὅτι τὸ σῶς ἐκ τοῦ σῶος γέγονε καὶ ἐπενθέσει